Ακαδημία Αθηνών / Academy of Athens

τέθησαν παρὰ τῶν Σῶν δούλων καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων. Παράσχου δέ, ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ τῶν αἰωνίων Σου ἀγαθῶν τὴν ἀπόλαυσιν δώρησαι· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου (τοῦδε), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων Σου τῶν ἁγίων. Ὅτι Σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

**εἰς τὸ εὐλογῆσαι τὰ Βαΐα τῇ Κυριακῇ τῶν Βαΐων.**

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ἐξεγείρας τὴν δυναστείαν καὶ ἀποστείλας τὸν μονογενῆ Σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ Σταυροῦ, τῆς Ταφῆς καὶ τῆς Ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον Πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου, λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων καὶ τὰ Βαΐα τῶν φοινίκων, τὴν Ἀνάστασιν προεμήνυσαν. Αὐτός, δέσποτα, καὶ ἡμᾶς τοὺς κατὰ μίμησιν ἐκείνων τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον· καὶ ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ παῖδες, τό, Ὡσαννά Σοι προσφέροντες, διαφύλαξον, ὅπως ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου Ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΙΣΟΔΙΚΑ

## τῶν δεσποτικῶν Ἑορτῶν.

Τὰ ἐν τῇ μικρᾷ εἰσόδῳ τῆς θείας Λειτουργίας. Μετὰ τό, Σοφία, ὀρθοί. Ψαλλόμενον εἰς ἦχον β΄.

### Εἰς τὴν Χριστοῦ Γέννησιν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά Σε· ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθεὶς ψάλλοντάς Σοι Ἀλληλούϊα.

### Εἰς τὰ ἅγια Θεοφάνεια.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

### Εἰς τὴν Ὑπαπαντήν.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ· ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ